www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

# ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ & ΕΝΔΟΞΟΝ ΝΕΟΜΑΡΤΥΡΑ

# ΓΕΩΡΓΙΟΝ ΤΟΝ ΚΥΠΡΙΟΝ

(ἑορταζόμενον τῇ κγ' Ἀπριλίου)

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ͵αϡϟζ' * 1997 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΝΕΟΜΑΡΤΥΡΑ ΓΕΩΡΓΙΟΝ ΤΟΝ ΚΥΠΡΙΟΝ

* * *

Εὐλογητός, Κύριε εἰσάκουσον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον

Ἦχος δ'. Ὁ ὑψωθείς.

Ὀρθοδοξίας πανοπλίᾳ παμμάκαρ, νικητικῶς πλάνῃ τῆς Ἄγαρ συνήφθης, καὶ αἵματι τιμίῳ σου ἀπέπνιξας αὐτήν, ὅθεν στέφος εἴληφας, Νεομάρτυς Κυρίου, καὶ πρεσβεύεις πάντοτε, ὑπὲρ νήσου τῆς Κύπρου, ἣν διατήρει θείαις σου εὐχαῖς, πανελευθέραν, Γεώργιε ἔνδοξε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον. Οὐ σιωπήσομεν.

Ὁ Ν', μεθ᾿ ὃν ὁ κανών, οὗ ἡ ἀκροστιχίς:

"Ὦ Γεώργιε Κύπριε, νῆσόν σου ἀεὶ σκέποις. Ἀ(θανάσιος)".

Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ὑγρὰν διοδεύσας.

Ὡραῖος τὸ σῶμα καὶ τὴν ψυχήν, Γεώργιε μάρτυς, ὡραιότατος ἀθλητής, ἐδείχθης τὴν πλάνην Ἄγαρ πνίξας, ἐν ταῖς ῥοαῖς τῶν πανάγνων αἱμάτων σου.

Γεώργιον ὤφθης τοῦ Ἰησοῦ, καρποὺς ἀνενέγκας, Ἐκκλησίᾳ στηρικτικούς, ἐξ ὧν τοῖς τιμῶσί σε μετάδος, καὶ προσκυνοῦσι τὰ θεῖά σου λείψανα.

Εὐφράνας τὰ πλήθη τῶν εὐσεβῶν, τῷ σῷ μαρτυρίῳ, ἐγκατάσπειρον ταῖς ψυχαῖς, ἀγάπην ἀσάλευτον Κυρίου, καὶ παῤῥησίαν Γεώργιε ἔνδοξε.

Θεοτοκίον

Ὡς μήτηρ ἁγνείας ἐμὴν ψυχήν, ἁγνὴν διατήρει, ἐκ δαιμόνων ἐπιφορᾶς, Κυρίῳ συνάπτουσα πανάγνῳ, Ὑπεραγία σεπταῖς σου δεήσεσι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

### ᾨδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ῥώμην εἴληφας θείαν, παρὰ Χριστοῦ Ἅγιε, καὶ πανευθαρσῶς πρὸ τυράννων, καθωμολόγησας, Αὐτοῦ θεότητα, ὅθεν παράσχου βοῶμεν, παῤῥησίαν πάντοτε, ἡμῖν χριστάρεστον.

Γρηγορῶν ἐφυλάχθης, τῆς ψυχικῆς πτώσεως, καὶ ἀντὶ ὠῶν ἐξωνήσω, Χριστοῦ βασίλεια, μάρτυς Γεώργιε, διὸ ἱκέτευε ὅπως, γρηγοροῦντες ἅπαντες, ἐχθρὸν τροπώμεθα.

Ἱερόσφακτον θῦμα, τοῦ Ἰησοῦ γέγονας, ἐν τῇ σταθηρᾷ σου ἐνστάσει, μάρτυς Γεώργιε, πλάνην τὴν ἄθεον, καταπατήσας ἐμφρόνως, ἧς φυλάττοις ἅπαντας, τοὺς ἀνυμνοῦντάς σε.

### Θεοτοκίον

Ἐξ ἁγνῶν σου αἱμάτων, ὁ τοῦ Θεοῦ Δέσποινα, Λόγος ἐσαρκώθη ἀῤῥήτως, Ὃν ὁ Γεώργιος, καθωμολόγησεν, ὡς τὸν Σωτῆρα τοῦ κόσμου, ὑπομείνας ἄθλησιν, ὁ γενναιότατος.

Διάσωσον, ἀπὸ τῆς πλάνης Γεώργιε νεομάρτυς, τοὺς τιμῶντας τὴν θείαν σου ἄθλησιν, καὶ φύλαττε διὰ παντός, νῆσον Κύπρον εὐχαῖς σου.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

### Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Ἀνδρείαν ψυχῆς, στεῤῥῶς ἐνδυσάμενος, Υἱὸν τοῦ Θεοῦ, Χριστὸν ὡμολόγησας, καὶ τῆς Ἄγαρ ἔπνιξας, τὴν ψυχώλεθρον πλάνην Γεώργιε, ὡς νέος Δαβίδ, σφενδόνῃ θείας πίστεως.

### ᾨδὴ δ'. Εἰσακήκοα, Κύριε.

Κύνας πλάνης Γεώργιε, ὑλακτοῦντας πίστει παρέβλεψας, ὄμμα ἔχων τῆς καρδίας σου, πρὸς τὸν Ἰησοῦν ἀδιατάρακτον.

Ὑπαχθεὶς μάρτυς ἔνδοξε, τῇ συκοφαντίᾳ ταύτην διέῤῥηξας, ἧς ἡμᾶς ἀτρώτους φύλαττε, ἵνα ἐντολαῖς Κυρίου πορευώμεθα.

Παῤῥησίᾳ ἐκήρυξας, τὴν Ὀρθοδοξίαν θεῖε Γεώργιε, κατενώπιον τυράννων σου, ὅθεν τοὺς αἰτοῦντάς σε, ἐν ταύτῃ στήριξον.

Θεοτοκίον

Ῥήματί σου Πανάμωμε, γέγονας θεότητος οἰκητήριον, ταπεινώσει ὑπακούσασα, ᾗ ὡς ἱματίῳ με καλῶς περίζωσον.

Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Ἴθι πρὸς ἡμᾶς, Νεομάρτυς γενναιότατε, καὶ κλονουμένους ὑποστήριξον, ὅπως δικτύων, τῆς παρανομίας ἐξελώμεθα.

Ἔδωκας σαὐτόν, τῷ Δεσπότῃ ὁλοκάρπωμα, καὶ ἀντηλλάξω τὰ αἰώνια φθαρτοῖς, διὸ τὸν πόθον, οὐρανίων δὸς σὲ μέλπουσιν.

Νέος σωφρονῶν, γηραλαίαν πλάνην ἔπνιξας, ὁμολογήσας τὸν Χριστὸν Υἱὸν Θεοῦ, Οὗ τὴν ἀγάπην, ταῖς καρδίαις ἡμῶν ἔμβαλε.

Θεοτοκίον

Ἤνεγκας ἡμῖν, σαρκωθέντα τὸν Ὑπέρθεον, ἐλευθερώσασα τὸ γένος τῶν βροτῶν, ὅθεν ἐκ πόθου, σὲ Παρθένε μεγαλύνομεν.

Ὠιδὴ στ'. Τὴν δέησιν ἐκχεῶ.

Συνόμιλος, τῶν Μαρτύρων γέγονας, τὸ αὐτὸ ἐπιδειξάμενος θάῤῥος, καὶ τὸν σατάν, τοῖς τιμίοις ποσί σου, ὡς δορυάλωτον δοῦλον ὑπέταξας, τῷ ἔρωτι πρὸς τὸν Χριστόν, ὃν τοῖς σὲ εὐφημοῦσι δὸς δώρημα.

Οὐδόλως σε, τῶν ἐχθρῶν ἐκλόνησαν, ὑποσχέσεις ὑλικῆς εὐμαρείας, ὡς τὴν ψυχήν, ἔχοντός σου τρισμάκαρ, ἐν προσμονῇ

ἀγαθῶν ἃ χαρίζεται, τοῖς μάρτυσιν τοῖς ἑαυτοῦ, ὁ καλὸς στεφοδότης καὶ Κύριος.

Νεότητα, καὶ σαρκὸς χαρίσματα, τῷ Κυρίῳ ἀφιέρωσας πόθῳ, ὅθεν ἡμᾶς, ἐξαπάλλαξον πάντας, κεκολλημένους ζωῆς ματαιότητι, καὶ δίδου ἔρωτος Θεοῦ, Νεομάρτυς πτερὰ τὰ χριστόπνοα.

Θεοτοκίον

Συνάριθμον, Θεοτόκε δεῖξόν με, τῶν τὴν κλεῖδα μετανοίας βαλόντων, καὶ τοῦ Χριστοῦ, Βασιλείαν εὑρόντων, διὰ δακρύων καὶ θείας συννεύσεως, ἵνα ὑμνῶ σε ἐκ ψυχῆς, μετανοίας τὴν πύλην Πανάμωμε.

Διάσωσον, ἀπὸ τῆς πλάνης Γεώργιε νεομάρτυς, τοὺς τιμῶντας τὴν θείαν σου ἄθλησιν, καὶ φύλαττε διὰ παντός, νῆσον Κύπρον εὐχαῖς σου.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν χριστιανῶν.

Τοῦ Χριστοῦ ἀνεδείχθης γεώργιον, μαρτυρίου καρπὸν ἐνεγκάμενος, ὅθεν μάρτυς, ὡς παῤῥησίαν ἔχων πρὸς Θεόν, εὐχάς, πρόσφερε Αὐτῷ, ὑπὲρ τιμώντων σε πιστῶς, καὶ τῆς Κύπρου Γεώργιε, ὅπως ἐλευθερίαν, δῷ ἐκ τῶν τέκνων Ἄγαρ, καὶ εὐλαβείας πλησμονήν, καὶ ἀγάπην

Προκείμενον. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχος. *Πεφυτευμένος ἐν οἴκῳ Κυρίου...*

**ΕΥΑΓΓΕΛΙΟΝ**

Ἐκ τοῦ κατὰ Λουκᾶν

(κα' 12 - 19)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Ἐπιβαλοῦσι γὰρ ἐφ᾽ ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι. Ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ φίλων καὶ θανατώσουσιν ἐξ ὑμῶν καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν, κτήσασθε τὰς ψυχὰς ὑμῶν.

*Δόξα.*

Νεομάρτυρός σου, Χριστέ, ταῖς ἱκεσίαις, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου....*

Στίχ. *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

καὶ τὸ προσόμοιον.

Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.

Πλήρης θείας χάριτος, πρὸ τῶν ἀνόμων παρέστης, καὶ σοφίᾳ Πνεύματος, πλάνην ἐμυκτήρισας, τὴν ψυχώλεθρον· τὸν Χριστὸν κηρύξας δέ, ὡς Θεὸν καὶ Λόγον, τῶν ὑλαίων κατεφρόνησας, ἔχων ἐνώπιον, δόξαν Παραδείσου τὴν ἄφθαρτον. Διὸ κλεινὲ Γεώργιε, Ἄγαρ τὴν δυσσέβειαν ἔπνιξας, καὶ λαβὼν τὸ στέφος, πρεσβεύεις ἐκτενῶς ὑπὲρ ἡμῶν, τῶν σεβομένων ἀγῶνάς σου, νεομάρτυς Κύπριε.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὁ Χριστὸς ὡς προέφη, Πνεύματος δυνάμει σὲ κατεπλήρωσε, καὶ πλάνην ἐξελέγξας, ἐν λόγοις θεοφόροις, ἀσεβεῖς κατεφίμωσας, ὅθεν σοφίας Θεοῦ, ψυχὰς ἡμῶν πληρώσαις.

Νοῦν πρὸς Κύριον ἔχων, πάντων κατεφρόνησας ὑπισχνουμένων σοι, καὶ μόνον τῶν μενόντων, ποθῶν κληρονομῆσαι, ὦ Γεώργιε ἔνδοξε, τοῦ Παραδείσου υἱός, ἐδείχθης τῇ ἀθλήσει.

Ἀφειδήσας τῶν πάντων, ἔχων ἐν καρδίᾳ σου Χριστοῦ τὸν ἔρωτα, ὡς ἄκακον ἀρνίον, ἐσφάγης ὑπ᾿ ἀνόμων, ὅθεν πάντας τοὺς μέλποντας, τὴν ἄθλησίν σου καλῶς, ἐξ ἀνομίας τήρει.

Θεοτοκίον

Ἐνιδρύθη ψυχῇ μου, πᾶσα ἁμαρτία ὡς κακὴ βασίλισσα, διὸ σὲ ἱκετεύω, ὡς Μήτηρ τοῦ Ὑψίστου, ταύτην τάχει ἀπόβαλε, καὶ Βασιλέα Χριστόν, ἐνθρόνισον ἐντός μου.

Ὠιδὴ η'. Τὸν Βασιλέα.

Ἰάτρευσόν μου, πάθη ποικίλα ὦ Μάρτυς, τῇ δοθείσῃ σοι χάριτι ταχέως, ὅπως ἀνυμνῶ σου, τὴν ἄθλησιν τὴν θείαν.

Στῆσον θαλάσσης, ἐξαγριούμενον σάλον, τῶν παθῶν μου ὡς πάλαι Μάρτυς κῦμα, ἔστησας δημίους, ἐπαπειλῆσαν τρόμῳ.

Κῆπον ψυχῆς μου, ἀκανθηφόρον κακίαις, ὡς Γεώργιος κάθαρον εὐχαῖς σου, ἄνθη πανευώδη, φυτεύων εὐσεβείας.

Θεοτοκίον

Ἐλέησόν με, ἀπεγνωσμένον Παρθένε, ἐκ ποικίλων δεινῶν παραπτωμάτων, δι᾿ ὧν τὸν Χριστόν μου, λυπῶ ἀπερισκέπτως.

Ὠιδὴ θ'. Κυρίως Θεοτόκον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Παλαίσας ὡς ἀρνίον, εἷς πρὸς ἀριθμήτους, σταυροῦ δυνάμει Γεώργιε εἴληφας, τοῦ μαρτυρίου τὸ στέφος, τῇ παῤῥησίᾳ σου.

Ὁ φῶς δημιουργήσας, θείαις φωταυγείαις, τὸ λείψανόν σου ἐνδόξως ἐτίμησε, διὸ φωτὸς οὐρανίου, ἡμᾶς ἀξίωσον.

Ἰάσεων ποικίλων, γέγονε σὸς τάφος, πηγὴ τοῖς πόθῳ προστρέχουσιν Ἅγιε, καὶ ἀῤῥωγήν σου ζητοῦσι, Μάρτυς φιλάδελφε.

Συντόμως ἐκ τῆς Κύπρου, δίωξον τῆς Ἄγαρ, τὰ ἀσεβέστατα τέκνα Γεώργιε, καὶ Νῆσον πᾶσαν Κυρίου, δεῖξον γεώργιον.

## Θεοτοκίον

Ἀνύμφευτε Παρθένε, σὺν τῷ Γεωργίῳ, καὶ τοῖς Ἁγίοις ἐν Κύπρῳ ἐκλάμψασι, τὸν Ἰησοῦν ὑπὲρ Νήσου, ἐκδυσωπήσατε.

*Ἄξιόν ἐστιν ὡς ἀληθῶς...*

## Μεγαλυνάρια

Χαίροις νήσου Κύπρου ἄνθος τερπνόν, καὶ Πτολεμαΐδος, χριστοκάρδιος ἀθλητής, χαίροις Παραδείσου, Γεώργιε οἰκήτωρ, καὶ τῶν πιστῶς τιμώντων, πρέσβυς ἀκοίμητος.

Τοὺς ἀσπαζομένους σου ἱερά, λείψανα εὐλόγει, Νεομάρτυς ἀποπληρῶν, πάσας τὰς αἰτήσεις, καὶ δίωκε ταχέως, ψυχῶν τε καὶ σωμάτων, ἄλγη καὶ τραύματα.

Ἴδε τὴν πατρίδα σου ἀθλητά, πάσχουσαν ἀδίκως, ὑπ᾽ ἀθέων ἀγαρηνῶν, ὅθεν σὺν χορείᾳ, Ἁγίων τῶν ἐν Κύπρῳ, Γεώργιε Δεσπότην, καθικετεύσατε.

*Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί....*

*Τρισάγιον κλπ.*

*Εἰς τὴν ἀπόλυσιν. Στιχηρὸν προσόμοιον.*

www.tezaurliturgic.ro



### Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.

Δεῦτε, Νεομάρτυς τοῦ Χριστοῦ, Κύπρου τὸ πανεύοσμον ἄνθος, κλεινὸν Γεώργιον, ὕμνοις μεγαλύνοντες, καθικετεύσωμεν· ὡς τὴν πλάνην ἀπέπνιξας, τῆς ἡμισελήνου, οὕτω ταύτης δίωξον, ἐκ Νήσου τάχιστα, τέκνα τὰ δεινῶς ἐπελθόντα, καὶ ἐλευθερίαν ἐκ πάσης, ἁμαρτίας δὸς ἡμῖν.

*Δέσποινα πρόσδεξαι.*

*Τὴν πᾶσαν ἐλπίδα μου.*

*Δι᾽ εὐχῶν.*

### *Στίχοι*

*Γεώργιον Χριστοῦ, Γεώργιε, δεῖξον*
*τὴν σὴν πατρίδα, μεγαλόνησον Κύπρον.*